εἰς τοῦτον τὸν χρόνον. Ἀκούων οὖν, ἐν τοῖς μεθορίοις τοῖς τε αὐτῶν καὶ τοῖς Μήδων πολλὰ θηρία εἶναι, ἅτε[411] ἀθήρευτα ὄντα διὰ τὸν πόλεμον, ἐνταῦθα ἐπεθύμησεν ἐξελθεῖν. Ὅπως οὖν ἀσφαλῶς θηρώη, ἱππέας τε προσέλαβε πολλοὺς καὶ πελταστὰς, οἵτινες ἔμελλον αὐτῷ ἐκ τῶν λασίων τὰ θηρία ἐξελᾶν εἰς τὰ ἐργάσιμά τε καὶ εὐήλατα[412]. Ἀφικόμενος δὲ, ὅπου ἦν αὐτῷ τὰ φρούρια, καὶ ἡ φυλακὴ, ἐνταῦθ᾽ ἐδειπνοποιεῖτο, ὡς πρωῒ τῇ ὑστεραίᾳ[413] θηράσων.

Ἤδη δὲ ἑσπέρας γενομένης, ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ[414] ἔρχεται ἐκ πόλεως, καὶ πεζοὶ καὶ ἱππεῖς. Ἔδοξεν οὖν αὐτῷ πολλὴ στρατιὰ παρεῖναι· δύο γὰρ ὁμοῦ ἦσαν φυλακαὶ καὶ πολλοὺς αὐτὸς ἔχων ἧκεν ἱππέας καὶ πεζούς. Ἐβουλεύσατο οὖν κράτιστον εἶναι λεηλατῆσαι ἐκ τῆς Μηδικῆς καὶ λαμπρότερόν τι ἂν φανῆναι τὸ ἔργον τῆς θήρας, καὶ ἱερείων[415] πολλὴν ἀφθονίαν ἐνόμιζε γενήσεσθαι. Οὕτω δὴ πρωῒ ἀναστὰς, ἦγε τὸν στρατόν· καὶ τοὺς μὲν πεζοὺς καταλείπει ἀθρόους ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ τοῖς ἵπποις προσελάσας πρὸς τὰ τῶν Μήδων φρούρια, τοὺς μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ᾽ ἑαυτοῦ, ἐνταῦθα κατέμεινεν, ὡς[416] μὴ βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας· τοὺς δὲ ἐπιτηδείους ἀφῆκε κατὰ φυλὰς[417] ἄλλους ἄλλοτε καταθεῖν· καὶ ἐκέλευε, περιβαλλομένους[418] ὅτῳ τις ἐντυγχάνοι, ἐλαύνειν πρὸς ἑαυτόν[419]. Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

Σημανθέντων[420] δὲ τῷ Ἀστυάγει ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ, ἐξεβοήθει καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτὸν, καὶ ὁ υἱὸς αὐτοῦ ὡσαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις, καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε πᾶσιν ἐκβοηθεῖν. Ὡς δὲ εἶδον πολλοὺς ἀνθρώπους τῶν Ἀσσυρίων συντεταγμένους, καὶ τοὺς ἱππέας ἡσυχίαν ἄγοντας, ἔστησαν καὶ οἱ Μῆδοι. Ὁ δὲ Κῦρος, ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πασσυδεὶ[421], ἐκβοηθεῖ καὶ αὐτὸς, πρῶτον τότε ὅπλα ἐνδὺς οὔποτε οἰόμενος[422]· οὕτως ἐπεθύμει αὐτοῖς ἐξοπλίσασθαι. Καὶ γὰρ μάλα καλὰ ἦν, καὶ εὖ ἁρμόττοντα αὐτῷ, ἃ οἱ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο[423]. Οὕτω δὴ ἐξοπλισάμενος, προσήλασε τῷ ἵππῳ. Καὶ ὁ Ἀςυάγης ἰδὼν ἐθαύμασε μὲν τίνος κελεύσαντος ἥκοι[424]· ὅμως δ᾽ εἶπεν αὐτῷ μένειν παρ᾽ ἑαυτῷ.

Ὁ δὲ Κῦρος, ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο· Ἦ οὗτοι, ἔφη[282], ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις, ἠρέμα; Πολέμιοι μέντοι ἔφη. Ἦ καὶ ἐκεῖνοι, ἔφη, οἱ ἐλαύνοντες; Καὶ ἐκεῖνοι, μέντοι[425]. Νὴ τὸν Δί᾽, ἔφη, ὦ πάππε, ἀλλ᾽ οὖν πονηροί γε φαινόμενοι[426] καὶ ἐπὶ πονηρῶν ἱππαρίων, ἄγουσιν[427] ἡμῶν τὰ χρήματα· οὐκοῦν χρὴ ἐλαύνειν τινὰς ἡμῶν ἐπ᾽ αὐτούς. Ἀλλ᾽ οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ, ὅσον τὸ στίφος τῶν ἱππέων ἕςηκε

---

411) Ὡς. 412) Πεδιάδας ἐπιτηδείους διὰ γεωργίαν καὶ ἱππασίαν. 413) Ἑλλ. ἐν.
414) Οἱ διαδεξόμενοι τοὺς πρόσθεν φύλακας. 415) Ζῶα πρὸς θυσίαν καὶ ἐν γένει σφακτά.
416) Ἵνα. 417) Διηρημένους κατὰ φυλάς. 418) Περικυκλοῦντες, συλλαμβάνοντες ἐκεῖνον ὅτῳ. 419) Ἡ αὐτοπαθ. ἀντων. διότι ταὐτοπροσωπεῖ μὲ τὸ ὑποκείμ. 420) Ἑλλ. τῶν γινομένων. 421) Σωρηδόν. 422) Οἰόμενος (ὑπὸ ἐπιθυμίας) οὔποτε ἐνδύσεσθαι.
423) Εἶχε διατάξει νὰ κατασκευασθῶσιν· ἡ σημασία τοῦ μέσου ὑπερσυντ. 424) Κατὰ τίνος κέλευσμα ἦλθε. 425) Μάλιστα. 426) Αὐτοὶ φαινόμενοι (ἐνῷ φαίνονται) ἄγουσι.
427) Λεηλατοῦσι. Λ. Σ.